UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Dabidu prophētoi kai basileōs melos ...

Dolscius, Paul

Basileae, 1555

VD16 B 3122

Προς Τους Εντυχανοντας.

urn:nbn:de:hbz:466:1-69725

Visual Library

# ΠΡΟΣ ΤΟΥΣ ΕΝΤΥΓΧΑΝΟΝΤΑΣ.

Πολλοὶ ἀναγνόντες τὰ πάλ' οἱ σοφοὶ ἄνδρες ἔγραψαν
γνώμην, ἐνὶ σφετέραις ἔνθα καὶ ἔνθα βίβλοις·
οὐδὲν τῶνδε γραφὴν τὴν ἱερὴν, καὶ θεόπνευστον,
ἀφροσύνῃ προφέρειν σφῆς δοκέουσι φρενός.
ὅττι καλῶν ἠθῶν καὶ ταῦτα διδακτίκ' ἄρ' ἐστὶ,
οἷα τὸν εὐσεβέειν βουλόμενον δεῖ ἔχειν.
καὶ πρὸς τὴν ἀρετῶν θνητοὺς ἄσκησιν ὀτρύνει,
τήν τ' ὀλοὴν κακίην κέκλευθ' ἅπασι φυγεῖν.
χ' ὡς τοῖς Φωκυλίδου ἢ Θεύγνιδος ἐγκυρέοντες,
ἢ τῷ χρυσείῳ Πυθαγόραο μέλει·
ἠὲ προφητάων, ἢ τῶν Χριστοῖο μαθητῶν,
οἷον τ' ἐν σφετέραις, γράμματα, χερσὶ φορεῖν.
μήτ' αὐτὸν τὸν παγκρατέος θεοῦ υἱὸν, ἐπ' αἴης
τῶνδε διδασκῆσαι βέλτερα Χριστὸν ἐπῶν.
ἀλλ' οἱ, κἂν λόγιοι καὶ πουλυδαεῖς τινὲς ὦσι,
ἐνθάδ' ἀφραίνοντες δῆλοι ἔασιν ὅμως.
οὔτ' εὐαγγελικὴν διδαχὴν μόνον ἀγνοέοντες,
λύτρωσίν τ' ἐλεῶν ἐκ θανάτοιο βροτῶν.
αὐτὰρ καὶ νοῦμον, τὸν ἐπ' οὔρεος ἠλιβάτοιο
οὐρανόθεν Μωσῆς χερσὶν ἐδέξαθ' ἑῆς.
ταῦτα γὰρ, ἀλλήλοιν καὶ πὲρ διενήνοχεν, ἄμφω,
πόλλ', οὐ γνωστὰ σοφοῖς τοῖς πάλ' ἀγένοντο, λέγει.
ὅττ' εὐαγγελίου Χριστὸν σωτήριος αὐδὴ,
τὸν βροτέου ῥύστην δηλόει ἄμμι γένους.
καὶ τοῦ ἀμυθήτοιο τὸ ἐξίλασμα χόλοιο,

τοῦ

τῷ πραπίδεσσι βροτοῖς σκύζεθ' ἐν ἦτοι θεός.
τῶν τε ὑπερβασιῶν ἄφεσιν, τῶν ἐγγεγαῶν
πᾶσιν, Ἀδαμε γόνοις, τοῖς μερόπεσσι, τεοῖς.
κεκλομένη πίστει τῇ ἀκλινεῖ, ἀστυφελεῖ τε,
τοῦ ἱλαστῆρος κηρόφιν ἄμμι λαβεῖν.
τοῖς τε τόδ' ἔρδουσι, χριστῷ τε πεποιθόσι μούνῳ,
λῆξιν ὑπισχομένη τὸν μὴ ἔχοντα βίον.
καὶ τὸ προσαπτόμενον δώρημα μέγιστον ἐκείνῳ,
πνεῦμ' ἐπὶ τοὺς χριστοῦ ἐξ ὀπαδοὺς τὸ χυθέν.
ὅ, ττι δὴ οὐρανίης θεόπεμπτον ἀπ' ἄντυγος ἐλθόν,
εἴς τε φρένας πιστῶν, κῆρ τε κάτεισι βροτῶν.
τοῖσδε νέην τινὰ μαρμαρυγὴν ἀκτῖσιν ἐῇσι,
χ' ἀνδανὸν ἐμποιοῦν αὖ τε φρόνημα θεῷ.
ὃν μὲν τῷ ἑβραίων ἐπ' ὄρευς φλογοβρόιο κυβερνῷ,
ἐν λιθίνῃσι θεὸς πλαξὶν ἔδωκε γραφῶν:
οὐκ εὔσχημα νόμος, καὶ ἄμεμπτά τιν' ἤθεα μοῦνον
αἰτίζει γαίης πάντοθι πάντα βροτόν.
ἀλλὰ φρόνημα καλόν, καὶ ἐντελὲς ἠδ' ὁλόκληρον,
καὶ καθαρὴν ψυχήν, καὶ καθαρὴν κραδίην.
κρυπτά τε, καὶ τὰ βροτοῖς ἄγνωστ' ἀλιτήματα δηλοῖ,
καὶ τῆς ἀνδρομένης ἀθλιότητα φυῆς.
οὕτως ἂρ νοῦμος θεόγραπτος ἁμαρτάδα φαίνει
πᾶσαν, καὶ φύσεως τοὐλλιπὲς ἡμετέρης.
ἠδ' εὐαγγελίου διδαχὴ νόσον ἔμπαλι τόσσην
ἀλθαίνουσα, χαρὰν δυστάλαι' ἄμμι φέρει.
τούτοιν δ' οὐδέτερον τινὸς αὖ ξυγγράμματα ποιεῖν
φῇς, πρόπαλαι σοφίῃ τηλεκλυτοῦ περ ἔῃ.

πάντα

πάντα μερὶς γὰρ ἐκεῖνα νόμου σμικρὴ ἦ τέτυκται,
τὴν ἔθ᾽ ὁ ὀρθὸς ἐὼν πῶς, ἐφύλαξε λόγος.
μὴ οὖν ἐξισοῦν δεῖ τἀνθρώπεια θείοις
γράμματα, κἂν δοκέῃ πάνσοφ᾽, ἄριστά τ᾽ ἔμεν.
αὐτὰρ ἀπὸ πρωτεῖα νέμειν τοῖσδ᾽, ὧν γε ποιητὴς
οὐ βροτὸς, ἀλλ᾽ ἅγιον γέντο τὸ πνεῦμα θεοῦ.
τοῖς Δαυίδειον ποίημ᾽ ἔνι, δεύτερον ἄλλου
οὐδενὸς, ἀλλὰ τὰ πρῶτ᾽ ἄξιόν ἐστι φέρειν.
οὐ μόνον ὡς ὁ νόμος φύσεως τὰ ὕπουλα βροτείης,
ἀλλὰ βλάβης τόσσης δεικνύον ἄμμιν ἄκος.
καὶ τὴν εὐσεβίην θεολατρείην τε διδάσκον,
οὐχ οἵην πλάσσῃ αὐτομάτως κε βροτός.
ἀλλὰ θεόρρητον, τήν θ᾽ οἱ θεὸς αὐτὸς ἀρέσκειν
οὐ μὴν ψευδαλέοις, τοῖς ἔθ᾽ ἔφηνε λόγοις.
τοῖς τε δυσπαθιέων, παραμύθια, ἀντιάσασιν,
ἠὲ βαρὺν λύπαις θυμὸν ἔχουσι, φέρον.
κεκλόμενόν τ᾽ ἀτρόπως πίσυνον θεῷ ἀρραγέως τε
εἶναι, τὸν λυγρῆς ἄνδρα λαχόντα τύχης.
δηλοῦν τε χραισμεῖν τοῖς αἰνομόροισιν ἐκεῖνον,
σφαῖς μιν ἐὰν πιστῶς ἀντιβολῶσι λιταῖς.
τόνδ᾽ οὖν ποιητὴν διὰ χειρῶν χρὴ σὲ κομίζειν,
τόνδ᾽ οὖν χρὴ ψάλτην σοὶ φίλον ἔξοχ᾽ ἔμεν.
τὸν σοὶ ἀνὴρ θεόφρων, χριστοῦ τε Λύθηρος ὑπουργὸς,
γήρυϊ τουτονὶ δὴ πρῶτ᾽ ἐδίδαξε λαλεῖν.
οὗ καὶ ἐπισταμένως μεταφράζων, πολλά τ᾽ ἀνορθῶν
κἄρθ᾽ ἑρμηνέων σφάλματα τῶν προτέρων.
ὃν μιμησάμενοι ὅσιοί τε καὶ ἐλλόγιμ᾽ ἄνδρες,

τούτου

τούτοις αἶα φίλη τοῖσιν ἔγεντο πατρίς:
πολλοὶ καὶ αὐτοὶ καλῶς μετέφρασαν ἀοιδὰς
τάσδε, τῷ αὐσονικῶν κάλλει χρώμεν᾽ ἐπῶν,
ἄλλοι μὲν μελέων λογάδην κατὰ τοῖσι μέμηλεν
οὔτι, νόμοις ἄλλοι δ᾽ ἐμμελέεσι πάλιν.
τοῖς ἔνι πρωτεύει ὁ ἀοιδῶν ἥλιος Εοβος,
ταῖς τε κόραις γεγονὼς φίλτατος ἐννέ᾽ ἀνήρ.
ὃς μεταχειρίσας τοῦτ᾽ Ἰσαΐδαο μέλισμα,
πᾶν διελήλυθ᾽ ἑῆς κρούμασιν αἶψα λύρης.
καὶ λιγυρὸν λιγυρῷ πάλ᾽ ἀμείψατ᾽ ἀείσματ᾽ ἄεισμα,
καὶ μελέεσι καλοῖς μέλψε κάλ᾽ αὖτε μέλη.
τῷ δὴ ὁμαρτήσειν τιν᾽ ἐμὸν κατὰ πολλάκι θυμὸν,
ἄνδρα θεοπνεύστων ἤλπισ᾽ ὄβρωντα λόγων.
καὶ τῆς ἑλλήνων αὐδῆς οὐκ εἰδόθ᾽ ἁπάσης,
χρώμενον ἐκδώσειν τῇδε τόδ᾽ ἄμμι μέλος.
ὄφρα τις ἢ τούτων ἢ ἐὼν ῥωμαῖος, ἢ ἕλλην
κεῖνο διὰ φράσεως οὐ ξυνέῃ κεν ἑῆς.
αὐτὰρ ἐπεὶ μηδεὶς ἄρξας πρὶν ἄνυσε τόδ᾽ ἔργον,
τῶν πολυϊδρείῃ, τῶν τε λόγοισι κλυτῶν:
αὐτὸς ἐγὼ τῆς Κασταλίδος πηγῆς πρὶν ἄγευστος
οὔποτ᾽ Ἀονίου ὄρεος ἄσσον ἰών.
αὐτὸς ἐγὼν ὁ μὴ οὐδ᾽ ὅσης ἑλληνίδος ἴδρις,
καὶ φρεσὶ νηπιάχων, τόνδ᾽ ὑπέδυσα πόνον.
οὐδεμίην δόξαν θηρώμενος, οὐδέν᾽ ἔπαινον,
πῶς γὰρ ὁ μὴ γράψας λῷστά κε τόνδε κίχῃ;
ἀλλὰ θεὸν καὐτὸς μεμαὼς χαρίτεσι γεραίρειν,
καί οἱ κὰδ δύναμιν δοξολόγ᾽ ἱρὰ φέρειν.

αἶνον

αἶνον ἀπὸ στόματος βρεφέων τὸν ῥεῦντα νεογνῶν,
τῶν τ' ἐπιμαστιδίων, εἴν' οἱ ἀρεστὸν ἰδών.
τούς τε δαιμοσύνῃ μου ἐγειρέμεν ὄντας ἀφέους
πρὸς τὸ τὰ αὐτὰ νόμοις κρείττοσι τῶνδε γράφειν.
μὴ οὖν φαύλοις περ νεμεσίζεο ὦ 'γαθὲ τούτοις,
μήτε μ' ἐπεσβολίαις δάκν', ὅτις ἐσσὶ, τεαῖς.
αὐτὰρ κὰν μεγάλοις τὸ θέλημά σοι ἔμμεν' ἕκαστον
ἄρκιον, ἄχρις ὅτου λωΐα τῶνδε λάβῃς.
ἢν δέ τι σύρήκῃς πῃ σφάλμ' ὡς πλεῖστά κεν εὕρῃς,
σύγγνωθ', ἀντιβαλὼν κάλλιον ἧμιν ἔπος.

ΤΕΛΟΣ.